ΑΝΤΩΝΙΟΣ ΠΑΝΑΓΙΩΤΟΥ

# ΔΥΟ ΑΝΕΚΔΟΤΟΙ ΚΑΝΟΝΕΣ ΤΟΥ ΙΕΡΟΥ ΦΩΤΙΟΥ

Οἱ κατωτέρω ἐκδιδόμενοι κανόνες πρὸς τιμὴν τῆς ὑπεραγίας Θεοτόκου παραδίδονται, ὁ μὲν πρῶτος ὑπὸ τοῦ κώδικος Sinaiticus gr. 782, φφ. 243-247β, ὁ δὲ ἕτερος ὑπὸ τῶν κωδίκων Sinaiticus gr. 781, φφ. 213-216 (S) καὶ Palatinus gr. 138, φφ. 6-7 β (A)[1]. Πρόκειται περὶ τῶν κανόνων τῆς Παρακλητικῆς, τοῦ τετάρτου καὶ τοῦ πλαγίου τοῦ τετάρτου ἤχου ἀντιστοίχως. Σημειωθήτω ὅτι ὁ Φώτιος συνέταξε δύο κανόνας εἰς ἦχον πλάγιον τοῦ τετάρτου, ὧν ὁ δεύτερος κατὰ σειρὰν ἐκδίδοται ἐνταῦθα. Τινὲς τῶν εἰς τὴν Θεοτόκον ὀκτωήχων κανόνων τοῦ Φωτίου ἔχουν ἐκδοθῆ εἰς τὸ παρελθὸν ὑπό τε τοῦ ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου καὶ τοῦ Σωφρονίου Εὐστρατιάδου. Τὰ περὶ τὴν ὑμνογραφικὴν παραγωγὴν τοῦ πατριάρχου, ἀλλαχοῦ λεπτομερῶς ἐκτεθέντα[2], οὐδόλως θὰ μᾶς ἀπασχολήσουν ἐνταῦθα.

Οἱ δύο κανόνες εἶναι συντεταγμένοι εἰς λόγιον ὕφος, κατὰ τὰ ἤδη πρὸ πολλοῦ κατισχύσαντα εἰς τὴν ὀρθόδοξον ὑμνογραφίαν πρότυπα. Θέματα καὶ ἰδέαι ἐν χρήσει ἐν ταῖς εὐχαῖς καὶ τοῖς ὕμνοις τῆς ὀρθοδόξου ἐκκλησίας ἀξιοποιοῦνται δαψιλῶς καὶ εἰς τοὺς δύο κανόνας. Δυστυχῶς δὲν δυνάμεθα νὰ ἀποφανθῶμεν περὶ τῆς πατρότητος τῶν κειμένων, ἐφ' ὅσον ἡ γλῶσσα των οὐδόλως ἀποκλίνει τῶν ἐν ἰσχύϊ καὶ χρήσει κατὰ τὴν συγγραφὴν ὑμνογραφικῶν ἔργων κανόνων καὶ συμβάσεων, μὴ ἔχουσα προσωπικήν τινα χροιάν, ἥτις θὰ ἐπέτρεπεν ἐνδεχομένως ἡμῖν, ὅπως προβῶμεν εἰς τὰς δεούσας συγκρίσεις πρὸς ἔργα ἀναμφισβητήτως προερχόμενα ἐκ τῆς γραφίδος τοῦ πατριάρχου Φωτίου. Μόνον εἰς ἓν σημεῖον γίνεται λόγος περὶ τοῦ εἰς εἰκόνα τῆς Θεοτόκου ὀφειλομένου καὶ ἀποδιδομένου σεβασμοῦ

---

1. F. D' Iuto, «Un manoscrito hymnographico del secolo 14, il Vaticano Palatino greco 138», *Rivista di studi Bizantini e Neoellenici* 28 (1991) 149-191.

2. Α. Δ. Κομίνη, «Ὑπῆρξεν ὁ ἱερὸς Φώτιος ὑμνογράφος;», *Δίπτυχα* 6 (1994-95) 21-26 καὶ Κ. Α. Μανάφη, «Φωτίου πατριάρχου Κωνσταντινουπόλεως ἄγνωστοι ὀκτώηχοι κανόνες εἰς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον», *Πρακτικὰ τοῦ Ἐπιστημονικοῦ Συμποσίου Μνήμη Ἁγίων Γρηγορίου τοῦ Θεολόγου καὶ Μεγάλου Φωτίου Ἀρχιεπισκόπων Κωνσταντινουπόλεως*, Θεσσαλονίκη 1994, σσ. 493-498.

(κανὼν β', στίχ. 25 κἑξ.). Ὑπάρχει ἆρά γε ἔμμεσος ἀναφορὰ εἰς τὴν προηγηθεῖσαν κρίσιν τῆς Εἰκονομαχίας; Τὸ ἐρώτημα πρέπει νὰ παραμείνῃ ἀνοικτόν.

Οἱ κανόνες ἐκδίδονται ἐνταῦθα κατὰ τὸ πρότυπον τῆς ἰταλικῆς σειρᾶς AHG. Ὁ κῶδιξ Α εἴς τινα σημεῖα ἐμφανίζει διαφοράς τινας, οὐχὶ ἐπουσιώδεις πρὸς τὸν κώδικα τῆς μονῆς τοῦ Σινᾶ, αἱ ὁποῖαι καὶ σημειοῦνται ἐν τῷ κριτικῷ ὑπομνήματι. Οἴκοθεν νοεῖται ὅτι τὰ ὀρθογραφικὰ σφάλματα δὲν καταχωρίζονται.

Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, φέρων ἀκροστιχίδα τήνδε· Σοὶ προσάγω, σεμνή, πύματον τόδε Φώτιος ᾆσμα.

ᾠδὴ α'. Ἦχος πλάγιος δ'. Ἁρματηλάτην Φαραὼ

Σκιαῖς καὶ τύποις Ἰσραὴλ ὁ πρότερος
ἀπεσεμνύνετο
σωματικὴν ἔχων
καὶ οὐ ψυχῆς κάθαρσιν,
σὺ δὲ τούτου συμπέρασμα
γενομένη, παρθένε,
τὴν τῶν πταισμάτων συγχώρησιν
τῷ νέῳ παράσχου σαφῶς Ἰσραήλ.

Ὁλοσχερῶς καὶ ὁλοψύχως , δέσποινα,
ἐν σοὶ προσέδραμον
ἁμαρτιῶν πλήθει
πολλῷ συνεχόμενος
καὶ τρέμων τὴν ἀπόφασιν
τῆς ἡμέρας ἐκείνης,
ἀλλά με λύτρωσαι, πάναγνε,
ταῖς σαῖς εὐπροσδέκτοις δεήσεσιν.

Ἴδε, σεμνή, τὸ ἐμὸν ἀγαλλίαμα
καὶ τὸ κραταίωμα,
τῶν περικυκλωσάντων

heirm. α' ΕΕ 219, n. 314 Joannis.
19 cf. Ps. 16, 11.

τὸ πλῆθος τὸν δοῦλόν σου
τὸ ἄγριον καὶ ἄστεκτον
πῶς διψῶσι τῷ φθόνῳ
τὴν κατ' ἐμοῦ νῦν ἀπώλειαν·
δέσποινα τοῦ κόσμου, βοήθει μοι.

Παῦσον τὸν πόνον τῆς ψυχῆς μου, δέσποινα
θεοχαρίτωτε,
καὶ τῆς σαρκὸς ὀδύνας
κοίμησον καὶ ἴασαι
καὶ θείας χαρᾶς ἔμπλησον,
ἀποδίωξον πάντας
τοὺς μάτην μοι ἐπιτρέχοντας
καὶ τοὺς πολεμοῦντας πολέμησον.

ᾠδὴ β'. Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι Θεὸς ὁ διασχίσας τὴν Ἐρυθρὰν

Ῥεῖθρα παράσχου μοι
δακρύων, δέσποινα ἁγνή,
ἵνα ἐν τούτοις τὰς ψυχικὰς
κηλῖδας πάσας ἐκκαθαρθῶ
καὶ τὸν μολυσμὸν τὸν τῆς σαρκὸς
ἐναποσμήξωμαι
τὸν προστριβέντα μοι ἐξ ἡδονῶν πονηρῶν·
τὴν λιθώδη πώρωσιν
διάλυσον τὴν τῆς καρδίας μου.

Ὅλον με φρούρησον,
ὅλον με τείχισον, σεμνή,
ὅλον σκέπασον, ἀγαθή,
τὸν ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ
ἀπαύστως κραυγάζοντα πρὸς σὲ
καὶ διαφύλαξον ὑπὸ τὴν σκέπην σου
καὶ προστασίαν σου
ἄτρωτον συντήρησον
ἐκ πάσης με βλάβης τοῦ ὄφεως.

---

heirm. β' EE 228, n. 327 Andreae.
50 cf. Gen. 3, 1.

Σύ μου τὸ καύχημα,
σύ μου τὸ στήριγμα ἀεί,
σύ μου ἀντίληψις ταχινή,
σὺ καὶ βοηθὸς καὶ προασπιστής, παρθένε
ἀμόλυντε μήτηρ·
σύ μου παράστηθι τῷ τῆς ἐξόδου καιρῷ,
σύ με ἐξάρπασον
τῆς μελλούσης κρίσεως
παρέχουσα τὴν αἰώνιον χαράν.

Ἁγία δέσποινα,
θεοχαρίτωτε, ἁγνή,
τὸν διανοίᾳ εἰλικρινεῖ
καὶ διαθέσει πανευλαβεῖ
τιμῶντά σε ὕμνοις καὶ ᾠδαῖς
καὶ τὸ σὸν ὄνομα ἐπικαλούμενον
τὸ ὑπερπόθητον
καὶ τὴν σὴν εἰκόνα ἀσπαζόμενον
ῥῦσαί με πάσης φθορᾶς.

ᾠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχὰς

Γεηπονήσασα, σεμνή,
τὴν ἄρουραν τῆς ψυχῆς μου
τὴν βλαστήσασαν ἄκανθας πταισμάτων
καὶ τριβόλους ἡδονῶν,
ἀρότρῳ συμπαθείας σου
καρπὸν τῆς σωτηρίας
σπεῖρον τὸν σοὶ ἐφαρμόζοντα.

Ὦ τῆς βουλῆς τῆς πατρικῆς
ἐκπλήρωσις, Θεοτόκε,
ὢ φανέρωσις τῶν θείων μυστηρίων,
σοὶ κραυγάζω ἐκτενῶς·
βοήθει μοι τῷ δούλῳ σου
τῷ ἐν κακοῖς ἀπείροις

---

heirm. γ΄ EE 219, n. 314 Joannis.
69-75 cf. Mat. 13, 3 sqq.

κατασχεθέντι καὶ θλίψεσιν.

Σῶμα καὶ νοῦν καὶ τὴν ψυχὴν
ἐμόλυνα ἀκαθάρτοις
ἡδοναῖς καὶ λογισμοῖς αἰσχρουργίας·
ἀλλὰ σύ, ἁμαρτωλῶν
τὸ μέγα καταφύγιον,
ῥείθροις φιλανθρωπίας
ἀπόπλυνόν με, πανάμωμε.

Ἐπὶ τῆς γῆς ὁδοιπορῶν
πλουτίζω σὲ συνοδίτην,
ἐν θαλάσσῃ Κυβερνήτην εὑρήσω,
ἡσυχάζων βοηθόν,
καθεύδων φυλακτήριον,
πράττων συμπράττουσάν μοι,
παρθένε ταῦτα τελοῦσα μοι.

ᾠδὴ δ'. Σύ μου, Χριστὲ

Μὴ ὀρφανοὺς
ἐγκαταλίπῃς τοὺς δούλους σου,
προστασίας
τῆς σῆς, παναμώμητε,
μὴ παραδῴης τοῖς πονηροῖς
καὶ μὴ ἀποστήσῃς
τὸ ἔλεος τῆς σῆς χάριτος·
εἰς σὲ γὰρ ἀφορῶμεν
καὶ ἐλπίζομεν πάντες
καὶ ἐν σοί ἐστιν ἡ προσδοκία ἡμῶν.

Νύμφη πατρός,
τοῦ θείου λόγου λοχεύτρια
τοῦ ἁγίου

---

91 πλουτίζω scripsi: πλουτίζων cod.
95 μοι scripsi: με cod.
heirm. δ' ΕΕ 219, n. 314 Joannis.
102-103 Dan. (Th.) 3(35).

πνεύματος ἐναύλισμα,
σύ με διάσωσον ἐκ φθορᾶς
τῶν παραπτωμάτων
καὶ τὴν ψυχήν μου καθάρισον
ἐκ πάσης ἀνομίας
καὶ παράστησον ταύτην
σεσωσμένην τῷ πάντα δεσπόζοντι.

Ἡ ἐν γαστρὶ
τὸν ἀπερίγραπτον λόγον πατρὸς
δεξαμένη
ἐξ ἁγίου πνεύματος,
ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ
τῆς φρικτῆς ἐκείνης
ἐξάρπασον καταδίκης με,
τῆς θείας εὐφροσύνης
καὶ χαρᾶς ἀξιῶσαι
καὶ τῆς τῶν σῳζομένων λαμπρότητος.

Πόσον ἐγὼ
ἰσχύσω δάκρυον ἄξιον
ἀντεισᾶξαι
τῶν κακῶν ὧν ἔπραξα,
πεπωρωμένην λίαν ψυχὴν
καὶ λιθώδη φέρων,
εἰ μὴ αὐτὴ βοηθήσεις μοι
καὶ βλύσεις μοι τὸν πλοῦτον
τοῦ ἐλέους σου, κόρη,
δι᾽ οὗ εὕρω σωτήριον ἄφεσιν.

ᾠδὴ ε΄. Ἵνα τί με ἀπώσω

Ὑπὸ τὴν θείαν σκέπην
πάντες οἱ προστρέχοντες
τὴν σήν, πανάμωμε,
τὴν τῶν αἰτουμένων
ἐφευρίσκουσι λύσιν γηθόμενοι·

---

heirm. ε΄ EE 219, n. 314 Joannis.

διὸ δέομαί σου κἀγὼ ὁ σὸς
οἰκτρὸς οἰκέτης
τὰς σειρὰς τῶν κακῶν μου διάρρηξον.

Μή με ἐξουδενώσῃς
ἀπὸ τοῦ προσώπου σου,
ἁγία δέσποινα,
μὴ ἀποποιήσῃ
τὰς ἐμπόνους δεήσεις μου, πάναγνε,
μὴ ἀποκηρύξῃς με, ἀγαθή,
ἀλλ' ἔπιδέ μου
τὴν ταπείνωσιν, κόρη, καὶ σῶσόν με.

Αὕτη με κυβερνῶσα
καὶ διαφυλάττουσα
ἐν πᾶσί μου τὴν ζωὴν
τοὺς ἐπερχομένους
πειρασμοὺς ἀποσόβει, πανάχραντε,
καὶ τῶν ἐγκλημάτων
παρεχομένη μοι τὴν λύσιν
τῆς μελλούσης ζωῆς καταξίωσον.

Τὸ κατ' εἰκόνα ἔχων
τοῦτο κατερρύπωσα
δι' ἡδονῆς σαρκικῆς
καὶ ἀφωμοιώθην
ἀνοήτοις τοῖς κτήνεσι, δέσποινα·
ἀλλ' ἐκπλύνασά με
τῆς εὐσπλαγχνίας σου ὑσσώπῳ
ἐπανάγαγε πρὸς καθομοίωσιν.

ᾠδὴ ς'. Ἱλάσθητί μοι, σωτὴρ

Ὁ βίος μου ῥυπαρὸς

---

161-168 Gen. 1, 26.
heirm. ς' EE 220, n. 315 Joannis.
164-165 Ps. 48, 12.
166-167 Ps. 50, 7.

ΒΙΒΛΙΟΘΗΚΗ ΣΠΟΥΔΑΣΤΗΡΙΟΥ ΛΑΟΓΡΑΦΙΑΣ
ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΑΘΗΝΩΝ

καὶ βορβορώδης καὶ βέβηλος,
ἡ χάρις σου δαψιλὴς
καὶ οἰκτιρμοί σου πολλοὶ
καὶ οὐδὲν ἀδύνατον
παρὰ σοί, παρθένε·
διὸ σῶσόν με, ὡς οἶδας, ἁγνή.

Νικάτω, κόρη, τῆς σῆς
ἀγαθωσύνης τὸ πλούσιον
τῆς ταπεινῆς μου ψυχῆς
τὴν ἄκραν φαυλότητα
εἰς πλείονα ἔνδειξιν
τῆς σῆς δυναστείας
καὶ αἰσχύνην τοῦ δολίου ἐχθροῦ.

Τύπτων τὸ στῆθος σφοδρῶς
καὶ σοὶ προσπίπτων καὶ στένων βοῶ·
ἐλέησον, ἀγαθή,
ἐλέησον, δέσποινα,
καὶ λύσιν παράσχου μοι
τῶν πολλῶν κακῶν μου,
ὧνπερ ἔπραξα ὁ ἄσωτος.

Ὁρῶσά μου τὸν θερμὸν
πρὸς σὲ καὶ ἔνθεον ἔρωτα
ἐπίχεε ἐπ' ἐμὲ
πλουσίως τὸν ἔλεον
καὶ τῆς εὐσπλαγχνίας σου
τοὺς συμπαθεστάτους
οἰκτιρμούς, μόνη πανύμνητε.

ᾠδὴ ζ'. Θεοῦ συγκατάβασιν

Δοχεῖον ἐπάξιον
τῆς τρισηλίου,
ἁγνή, θεότητος,
τὴν ἀχλὺν τῶν ὀμμάτων

heirm. ζ' EE 219, n. 314 Joannis.

τῶν τῆς ψυχῆς μου
ἀποκαθάρασα
ἄστραψον αἴγλην
τῆς θείας σου χάριτος
εἰς τὸ ὁρᾶν τὰς ὁδοὺς τῆς ἀπροσκόψεως.

Ἐπλήσθη, πανάμωμε,
πολλῶν μωλώπων
ἡ ταπεινή μου ψυχή,
οὓς οἱ τῆς ἁμαρτίας
λησταὶ ἐπέθηκαν
κραταιῶς καὶ σφοδρῶς·
ἀλλὰ σὺ ταύτην,
ἁγνή, θεραπεύσασα
τούτων τοὺς τύπους τελείως ἐξαφάνισον.

Φθορᾶς τὸ χιτώνιον
περιελοῦσα
τῆς ἀφθαρσίας μου
διὰ τῆς μετανοίας
τὴν λαμπροτάτην
στολὴν ἐπένδυσον,
ἵνα εἰσέλθω
κἀγὼ εὐφραινόμενος
ἐν τῷ νυμφῶνι Χριστοῦ τῇ μεσιτείᾳ σου.

Ὦ θεῖον παλάτιον
τοῦ βασιλέως,
ὦ πόλις ἔμψυχε,
ὦ πυρίμορφε θρόνε,
ὦ τοῦ ἡλίου
τῆς δόξης σκήνωμα,
σύ με ἐν ὥρᾳ
τῆς μελλούσης κρίσεως
ἐξάρπασον τοῦ πυρὸς
καὶ τῆς κολάσεως.

---

210 cf. Luc. 10, 30.
223 Mat. 22, 11.
227 Dan. 7, 9.

ᾠδὴ η΄. Ἑπταπλασίως κάμινον

Τοὺς ἀφειδῶς ταράσσοντας
τὴν ἀθλίαν καρδίαν μου
καὶ πρὸς ἁμαρτίας συνωθοῦντας βάραθρον
αὐτὴ ἐπιτίμησον
καὶ ἀποδίωξον λογισμοὺς
τοὺς ἐκ πονηρίας
τοῦ ἐχθροῦ κινουμένους
καὶ ἔγγραψον τὸν φόβον
τοῦ Θεοῦ ἐν νοΐ μου,
παρθένε τοὺς καρπούς με
βλαστάνον σωφροσύνης.

Ἰσχυροτάτη πέφυκεν
ἡ πρεσβεία σου, πάναγνε,
καὶ δυνατωτάτη πρὸς Θεόν σου ἔντευξις·
καὶ γὰρ ἐπικλώμενον
ἔχεις ταῖς σαῖς δεήσεσι
τὸν δεσπότην πάντων
καὶ υἱόν σου καὶ κτίστην·
διὸ σαῖς ἱκετείαις
τὸ χειρόγραφον σχίσον
τῶν ἐμοὶ πεπραγμένων
δεινῶν παραπτωμάτων.

Ὅτι εἰς βάθος ἤγγισα
ἀπορίας ὁ δείλαιος
καὶ τῆς ἀπογνώσεως βυθῷ ἀπόλλυμαι,
προσπίπτω καὶ δέομαι
τῶν οἰκτιρμῶν τῆς δόξης σου·
σῶσόν με, παρθένε
παναμώμητε, σῶσον,
μή με ἐγκαταλίπῃς
ἡ προστάτις τοῦ κόσμου,
μηδὲ κατῃσχυμμένον

heirm. η′ EE 219, n. 314 Joannis.
244 βλαστάνειν pro βλαστάνον exspectaveris.

ἀπὸ σοῦ ἀποπέμψῃς.

Σωτηριώδη φάρμακα
τῇ καρδίᾳ μου δώρησαι
τὸν θανατηφόρον ἰὸν ἀποσμήχουσα,
ὃν δόλῳ τοῦ ὄφεως
ἡ ἡδονὴ τοῦ σώματος
τοῖς τῆς ἁμαρτίας
ἐνέσπειρεν ὀδοῦσι,
καὶ δεῖξον, θεοτόκε,
ὑγιῆ τε καὶ σῷαν
μὴ ἔχουσαν ῥυτίδα
ἢ σπῖλον ἀσωτίας.

ᾠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοὴ

Ἄπειρα κύματα παθῶν
ἐπανέστησαν, ἁγνή, τῇ καρδίᾳ μου
ἐξ ἐπηρείας τοῦ ἐχθροῦ,
ἀλλὰ προφθάσασα
πρὸς λιμένα με
τῆς ἀπαθείας, ἀγαθή,
κυβέρνησον, δέομαι,
μὴ καταλάβῃ με
ὁ βυθὸς τῆς ἀπωλείας τῶν ἔργων μου.

Στήριγμα καὶ καταφυγὴν
καὶ κραταίωμα καὶ θείαν ἀντίληψιν
σὲ ἐπιγράφομαι
ζωῆς μοι πάσης·
ἄλλα καὶ ὥρᾳ φρικτῇ
τῇ τοῦ θανάτου, ἀγαθή,
βοήθεια φάνηθι
καὶ μετὰ θάνατον
σὺ ἀνάπαυσις γενοῦ μοι καὶ σῶσόν με.

Μαρία, πάντων ἡ ἐλπίς,

---

heirm. θ′ EE 222, n. 317 Joannis.

ἡ γεννήσασα τὸν πάντων δεσπόζοντα
καὶ κυριεύουσα
κτίσεως πάσης,
σύ με ἐλέησον,
σύ με διάσωσον, ἁγνή,
σύ με φωταγώγησον,
σύ με ἁγίασον,
σύ με κάθαρον πολλῶν παραπτώσεων.

Ἁγία δέσποινα σεμνή,
τοὺς ὑμνοῦντάς σε καὶ πόθῳ δοξάζοντας
ῥῦσαι παντὸς πειρασμοῦ,
παντὸς κινδύνου,
πάσης κακώσεως
καὶ τῆς μελλούσης φοβερᾶς
λύτρωσαι κολάσεως,
τῆς αἰωνίου δὲ
βασιλείας καὶ χαρᾶς καταξίωσον.

Ἕτερος κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον φέρων ἀκροστιχίδα· Ὕμνος τέταρτος τῇ πανάγνῳ παρθένῳ. Φωτίου.

ᾠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου

Ὑμνῶ σου, πανάχραντε,
τῆς δυναστείας τὸ μέγεθος,
ὅτι ἐλυτρώσω με
ποικίλων θλίψεων·
ἀλλὰ καὶ νῦν με
διάσῳζε κινδύνων
φρουροῦσα καὶ σκέπουσα
τῇ προστασίᾳ σου.

Μορφὰς καὶ ἰνδάλματα
ἀπειρημένα ὁ δόλιος
ἐντυποῖ τῇ ψυχῇ μου
ἐκτόποις ἐπαγωγαῖς
ταύτην μολύνειν
πειρώμενος, παρθένε·
τῆς τούτου με λύτρωσαι
κακίας καὶ μηχανῆς.

Νυκτὶ καὶ ἡμέρᾳ σε
παρακαλῶν καὶ δεόμενος
εὑρίσκω ἐν αἰσθήσει
τὴν σὴν ἀντίληψιν·
σὺ γὰρ ἀπείργεις
πονηρᾶς γλωσσαλγίας
ἐχθρῶν ἀποτρέπουσα
τὴν σκολιότητα.

Οὐδεὶς καταπέφευγεν
ἐπὶ τὴν σὴν ἀγαθότητα

---

heirm. α΄ ΕΕ 99, n. 141 Joannis.

12 ἐκτόποις ἐπαγωγαῖς S: ἀτόπως ἐπαγαγὼν A.

18-19 παρακαλῶν-αἰσθήσει S: παρακαλῶ καὶ προσπίπτω σοι εὑρεῖν ἐν αἰσθήσει με A.

καὶ οὐκ ἐκομίσατο
ταχὺ τὸ ἔλεος,
οὐ προσέδραμεν
τῇ σκέπῃ σου καὶ λύσιν
οὐχ εὗρεν ὧν ᾔτησε,
πάναγνε δέσποινα.

ᾠδὴ β΄. Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς

Σάρκα κατέφθειρα
πράττων τὰς ἀθέσμους
καὶ ἀποτροπαίους
πράξεις ὁ δείλαιος ἐγὼ
καὶ τὴν ψυχὴν κατεμόλυνα ἀλόγοις ὁρμαῖς·
ἀλλὰ σὺ ὡς δυνατή,
Θεοτόκε παρθένε,
εὐσπλαγχνίας
ὄμβροις με καθάρισον.

Τίς τὴν εἰκόνα σου,
δέσποινα, προσβλέπων
καὶ τὸ ὄνομά σου
τὸ ποθεινόν τε καὶ γλυκὺ
κατονομάζων καὶ πόθῳ προσκαλούμενος
οὐκ ἐμπίμπλαται πολλῆς
θυμηδίας καὶ θείας
εὐφροσύνης
καὶ ἀγαλλιάσεως.

Εὕρω σε, δέσποινα,
θείαν προστασίαν
ἐν καιρῷ κινδύνων
καὶ θλίψεων ἐπαγωγῆς
καὶ περιστάσεων βίου διασῴζουσάν με
καὶ ταχέως τοὺς ἐμοὺς
στεναγμοὺς τῆς καρδίας
δεχομένην

---

heirm. β΄ EE 104, n. 147, Andreae.

καὶ τὰς τῶν δακρύων ῥοάς.

Τεῖχος ἀπόρθητον
σκέπην τε βεβαίαν
καὶ ἰσχὺν καὶ κράτος
καὶ συμμαχίαν ἀρραγῆ
σὲ ἐπιγράφεται πᾶς ὁ κόσμος, δέσποινα·
διὰ σοῦ γὰρ εὐμοιρεῖ
σωτηρίαν καὶ θείας
ἀξιοῦται διακυβερνήσεως.

ᾠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους

Ἁγία παρθένε Θεοτόκε,
ἁγίασον ὅλον μου τὸν νοῦν,
τὸν ἐναγέσι πάντοτε
λογισμοῖς ῥυπαινόμενον
ἐννοίας ἐκδιώκουσα
ἐπιβλαβεῖς καὶ ὁρμὰς πονηράς.

Ῥῦσαί με ἐκ στόματος λεόντων
τῶν ὠρυομένων κατ' ἐμοῦ
καὶ ἐπανισταμένων μοι
ἀναιδῶς, παναμώμητε,
καὶ τὴν ἐμὴν ἀπώλειαν
ἐπιζητούντων ἑκάστοτε.

Τῆς σῆς ἱκεσίας παντευχίᾳ
καὶ ὅπλοις δεήσεως τῆς σῆς
περίφραξόν με, δέσποινα,
τῶν ἀντιπάλων θραύουσα
ἐπιβουλὰς καὶ ἔνεδρα
καὶ μηχανὰς καὶ τυρεύματα.

---

heirm. γ΄ ΕΕ 100, n. 141 Joannis.
73 τε post ἐπιβλαβεῖς add. A.
74-75 Ps. 21, 13-21.
83 καὶ ante ἀντιπάλων add. A.
85 συρεύματα A.

Ὁ βίος μου ὅλος ἐφθαρμένος.
ὁ τρόπος σαπρὸς καὶ πονηρός,
ἀλλὰ ἡ σή, πανάμωμε,
συμπάθεια ἀνείκαστος·
νικάτω ἡ χρηστότης σου
τὴν τῆς ψυχῆς μου φαυλότητα.

ᾠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον

Σὺ τῆς εὐσπλαγχνίας σου,
μήτηρ Θεοῦ,
διεῖσα τὰς πτέρυγας δέξαι με
ἠπορημένον
καὶ ἀσθμαίνοντα πυκνῶς
ἐκ τῆς πικρᾶς διώξεως
τῶν ἐπιζητούντων τὸ θηρεῦσαί με.

Ταύτην τὴν ἱκέσιον
σοὶ προσφωνῶ
ᾠδὴν ἐκ βαθέων καρδίας μου·
ἐλέησόν με,
Θεοτόκε ἀγαθή,
καὶ οἴκτειρόν με, δέσποινα,
καὶ ῥῦσαι πυρὸς αἰωνίζοντος.

Ἡ τὸν θεῖον ἄσταχυν
τὸν τὰς ψυχὰς
τρέφοντα, παρθένε, κυήσασα
λιμώττοντά με
ἐργασίας ἀγαθῆς
πλήρωσον τὴν καρδίαν μου
τῇ ἀγαθωσύνῃ τῆς δόξης σου.

---

heirm. δ' EE 100, n. 141 Joannis.

98 τὸ om. A.

101 ᾠδὴν-μου S: δέησιν ἐκ βάθους καρδίας μου.

111 πλήρωσον S: ἔμπλησον A.

Πάντες καταφεύγομεν
ἐπὶ τὴν σὴν
σκέπην τὴν σωτήριον, πανάχραντε,
καὶ ἐκβοῶμεν·
ἴδε, δέσποινα ἁγνή,
καὶ πρόσσχες ταῖς δεήσεσι
τῶν εἰλικρινῶς ἐκζητούντων σε.

ᾠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα

Ἀνάστηθι, πρόφθασον
εἰς τὴν ἐμὴν βοήθειαν
καὶ καταπολέμησον, παρθένε,
τοὺς ἀοράτους
ἀφ᾽ ὕψους ἄνωθεν
τοὺς τῇ ἀπονοίᾳ τῇ αὐτῶν
δεινῶς πολεμοῦντάς με
καὶ ἐκθλίβοντας πάντοτε.

Νάματα πηγάζουσα
ἀθάνατα τῆς χάριτος
ἐκ πηγῆς ἀπλέτου συμπαθείας
τὴν χερσωθεῖσαν
ψυχήν μου πταίσμασιν
ἄρδευσον, παρθένε ἀγαθή,
ὅπως ἐκβλαστήσειεν
φυτὰ τῶν ἐντολῶν τοῦ Χριστοῦ.

Ἀλόχευτε, ἄνανδρε,
ἄφθορε παιδοτόκε σεμνή,
σὺ ἐπιφανεῖσα ἀοράτως
ἐπίσκεψαί με
τὸν εὐφημοῦντά σε
καὶ παρακαλοῦντα ἐκτενῶς
καὶ τὴν εὐλογίαν μοι
τῆς σῆς χάριτος δώρησαι.

---

119 ἐκζητούντων: προστρεχόντων A.
heirm. ε΄ EE 100, n. 141, Joannis.

Γινώσκω σου, δέσποινα,
τὸν ἔλεον τὸν ἄμετρον,
οἶδα τὴν πολλὴν φιλανθρωπίαν,
ἐπίσταμαί σου
τὴν ἐπιείκειαν,
ὅθεν σοι κραυγάζω ἐκτενῶς·
σῶσόν με τὸν ἄθλιον,
τὸν ἀσώτως βιώσαντα.

ᾠδὴ ϛ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον

Νυκτομαχοῦσαν τοῖς πταίσμασι
καὶ βάθει ἀπωλείας σαλεύουσαν
τὴν ταπεινήν μου ψυχὴν
τῇ κυβερνήσει τῆς χάριτός σου
πρὸς ὅρμον σωτηρίας,
ἁγνή, κατεύθυνον.

Ὦ θαυμασίων ἄπειρον πέλαγος,
ὢ βλύσις τοῦ ἐλέους ἀνείκαστε
καὶ ἀνεξάντλητε,
παρθενομῆτορ πανάμωμε,
σῶσόν με ἐν τῇ ὥρᾳ
τῆς διαγνώσεως.

Προσπίπτω, κράζω σὺν δάκρυσιν,
ἐλέησον καὶ οἴκτειρον, δέσποινα,
καὶ μὴ ἀπώσῃ με
κατησχυμμένον τὸν ἄθλιον,
ἀλλὰ σὺν εὐμενείᾳ
ἐπίβλεψον ἐπ' ἐμέ.

---

heirm. ϛ΄ EE 100, n. 141, Joannis.
156 σωτηρίας ὅρμου A.
164 Προσπίπτων A (fort. recte).
165 καὶ οἴκτειρον: ἐλέησον A.
168 σὺν S: σῇ A (fort. recte).

ᾠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες

Ἀφθαρσίας στολισμῷ με καταφαίδρυνον
φαεινοτάτῳ, σεμνή,
καὶ τῆς παστάδος Χριστοῦ
δαιτυμόνα ἄξιον
εὐχαῖς ἀνάδειξον,
τὴν δυσείμονα
τῶν πταισμάτων ἀμφίασιν
ἐξ ἐμοῦ διαρρηγνύουσα.

Ῥυπωθεῖσαν ἡδοναῖς σαρκὸς καὶ πάθεσι
τὴν ταπεινήν μου ψυχὴν
ὑσσώπῳ καθαρτικῷ
τῆς φιλανθρωπίας σου
κάθαρον, λάμπρυνον
καὶ ἀνάδειξον,
παρθένε παναμώμητε,
λευκοτέραν τῆς χιόνος.

Θυμοφθόρου ἀπωλείας με ἐξάρπασον,
ἀειμακάριστε,
τὸν συνωθοῦντα δεινῶς
καὶ καταναγκάζοντα
ὁρμαῖς τοῦ ὄφεως
πρὸς ἀθέμιτον
ἐργασίαν καὶ ἄτοπον
λογισμὸν καταναρκοῦσα.

Ἐν ἀπαθείας ἀβύσσῳ, παντευλόγητε,
τὸ τριμερὲς τῆς ψυχῆς
καταποντίσασα
δεῖξόν με ἀτάραχον,
ἀπεριδόνητον

---

heirm. ζ΄ EE 100, n. 141, Joannis.
176-177 Mat. 22, 11.
180 Ps. 50, 7.

καὶ ἀσάλευτον,
ἐρριζωμένον
πέτρᾳ με
τοῦ Θεοῦ τῶν θελημάτων.

ᾠδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ

Νῦν καιρὸς ἐφέστηκεν ἐξόδου
καὶ πάντοθεν ἐξηπόρημαι ὁ ἄθλιος·
ὅλον γὰρ τὸν βίον μου
ῥαθύμως διήνυσα
καὶ οὐχ εὑρίσκω ἔννοιαν
τί διαπράξωμαι·
κριτά μου, ποιητά μου καὶ κτίστα,
δωρεάν με σῶσον
εὐχαῖς τῆς σὲ τεκούσης.

Ὢ τῆς ἀπορίας τῆς ἐσχάτης,
τῆς νῦν ἐμπεσούσης τῷ ταλαιπώρῳ μοι·
δέσποινα, βοήθει μοι,
δέσποινά μου, πρόφθασον
μνησθεῖσά μου τῆς πίστεως
καὶ πόθου τοῦ ἀκλινοῦς
καὶ λύτρωσαι τῶν λογοθετούντων
καὶ τῶν πεπραγμένων
τὴν δίκην εἰσπραττόντων.

Φωτὸς οἰκητήριον, παρθένε,
ἐκ σκότους με αἰωνίου ἀπολύτρωσαι·
ἔχεις γὰρ τὸ δύνασθαι
ἔχουσα πειθόμενον
τὸν σὸν υἱὸν καὶ Κύριον
ταῖς σαῖς δεήσεσι·
θέλησον τὴν ἐμὴν σωτηρίαν
καὶ ἀκολουθήσει
τῷ νεύματι τὸ ἔργον.

---

heirm. η΄ EE 100, n. 141, Joannis.

Ὦ δέσποινα πάντων τῶν κτισμάτων,
ὦ θεῖον ἀγγέλων ὑμνολόγημα,
πάντας νῦν διάσωσον
τοὺς εἰς σὲ προστρέχοντας
ἐκ πειρασμῶν καὶ θλίψεων
καὶ περιστάσεων
τηροῦσα ἀβλαβεῖς ἐπηρείας
τῆς τῶν ὁρωμένων
ἐχθρῶν καὶ ἀοράτων.

ᾠδὴ θ'. Ἅπας γηγενὴς

Τὴν τῶν μοχθηρῶν
ἔργων ἐνθυμούμενος
πληθὺν ὧν ἔπραξα
τρέμω δεδιττόμενος
τῆς καταδίκης τὸ ἀσυμπάθητον·
ἀφ' ἧς, παρθένε ἄχραντε,
σύ με ἐξάρπασον
τῶν πταισμάτων
τὴν ὀφειλὴν λύσασα
μετανοίᾳ θερμῇ
πρὸ ἐξόδου ψυχῆς.

Ἴδε τὴν ἐμὴν
ταπείνωσιν, ἄχραντε,
ἴδε τὴν θλίψιν μου,
ἴδε καὶ τὸν κόπον μου,
ἴδε τὸν πόνον
τῆς ταπεινῆς μου ψυχῆς
καὶ μὴ ἐάσῃς, δέσποινα,
τοῦ ἀπολέσθαι με,
ἀλλὰ σῶσον
καὶ ῥῦσαι καὶ λύτρωσαι
τῆς μελλούσης φρικτῆς κατακρίσεως.

Ὅλην τὴν ζωὴν

---

heirm. θ' EE 100, n. 141, Joannis.

ἀμελῶς διήνυσα
ἐν παραπτώμασι
καὶ πρὸς τέλος ἤγγισα
νῦν τὸ τοῦ βίου
καὶ ἀσυγχώρητον·
τὴν ἔξοδον ἐπάγουσιν
οἱ κατεπείγοντες·
διό, κόρη,
πρόφθασον τοῦ σῶσαί με
καταδίκης πικρᾶς ἀφαρπάζουσα.

Ὑπὲρ οἰκετῶν
ἀχρείων προσάγαγε
πρεσβείαν, ἄχραντε,
ἐξαιτοῦσα λύτρωσιν
τῶν ὀφλημάτων
καὶ τὴν συγχώρησιν
τῶν ἐγκλημάτων· οἶδας γὰρ
τὸ ἀσθενὲς τῆς σαρκὸς
καὶ πρὸς πᾶσαν
κακίαν εὐόλισθον·
ὅθεν δίδου συγγνώμην τοῖς δούλοις σου.